μοῖρα, ξηρὸν δ', ἐν ᾧ ξηρότητος· οὕτω δὲ καὶ θερμὸν μέν, ἐν ᾧ τὸ θερμὸν τοῦ ψυχροῦ πλεονεκτεῖ, ψυχρὸν δ', ἐν ᾧ τὸ ψυχρὸν τοῦ θερμοῦ. αὕτη μὲν ἡ τῶν ὀνομάτων χρῆσις.

Cap. II. Ὥρα δ' ἂν εἴη λέγειν ἤδη καὶ περὶ τῶν κράσεων αὐτῶν. ἡ μὲν δὴ πλείστη δόξα τῶν ἐπιφανεστάτων
511 ἰατρῶν τε καὶ φιλοσόφων, ὑγράν τ' εἶναι καὶ θερ|μὴν κρᾶσιν, ἑτέραν τῆς ὑγρᾶς τε καὶ ψυχρᾶς, καὶ τρίτην ἐπὶ ταύταις τὴν ξηράν τε καὶ ψυχράν, ἑτέραν τῆς ξηρᾶς θ' ἅμα καὶ θερμῆς. ἔνιοι δ' ἐξ αὐτῶν ὑγρὰν μέν τινα καὶ ψυχρὰν ἅμα κρᾶσιν ὑπάρχειν φασὶ καὶ θερμὴν ἅμα καὶ ξηρὰν ἑτέραν, οὐ μὴν οὔτε τὴν θερμὴν ἅμα καὶ ὑγρὰν οὔτε τὴν ψυχρὰν ἅμα καὶ ξηράν. οὐδὲ γὰρ ἐγχωρεῖν οὔθ' ὑγρότητα πλεονεκτούσῃ θερμότητι συνδραμεῖν οὔτε ξηρότητα ψυχρότητι. δαπανᾶσθαι μὲν γὰρ ὑπὸ τοῦ θερμοῦ κρατοῦντος τὴν ὑγρότητα καὶ οὕτω θερμὸν ἅμα καὶ ξηρὸν γίγνεσθαι τὸ σῶμα, μένειν δ' ἄπεπτόν τε καὶ ἀκατέργαστον, ἐν οἷς ἂν σώμασιν ἀρρωστῇ τὸ θερμόν, ὥστ' ἀναγκαῖον εἶναι θερμότητος μὲν ἐπικρατούσης ἕπεσθαι ξηρότητα, ψυχρότητος δὲ πλεονεκτούσης ἀκολουθεῖν ὑγρότητα. οὗτοι μὲν δὴ κατὰ τάδε πεπείκασι σφᾶς αὐτούς, ὡς δύο εἰσὶν αἱ πᾶσαι διαφοραὶ τῶν κράσεων.

Ὅσοι δὲ τέτταρας εἶναι νομίζουσι, διχῶς τούτοις ἀντιλέγουσιν, ἔνιοι μὲν εὐθὺς τὸ πρῶτον ἀξίωμα μὴ συγχωροῦντες,
512 ὡς ἐξικμάζεσθαι τὴν ὑγρότητα | πρὸς τοῦ θερμοῦ κρατοῦντος ἀναγκαῖόν ἐστιν, ἔνιοι δὲ τοῦτο μὲν συγχωροῦντες, ἀμφισβητοῦντες δ' ἑτέρως. οἱ μὲν δὴ πρῶτοι τοῦ θερμοῦ μὲν ἔργον εἶναί φασι τὸ θερμαίνειν ὥσπερ τοῦ ψυχροῦ τὸ ψύχειν, τοῦ ξηροῦ δ' αὖ τὸ ξηραίνειν ὥσπερ τοῦ ὑγροῦ τὸ ὑγραίνειν.

---

3 μὲν] μὲν οὖν L ‖ ἡ LMV om. O ‖ 4 ἤδη om. L ἤδη καὶ om. V ‖ 6 τε post ὑγράν add. LMV om. O ‖ 7 τε add. LMV om. O ‖ 8 ξηράν τ. κ. ψ. V ψ. τ. κ. ξ. LM ξ. κ. ψ. O ‖ 11 οὐδὲ pro οὔτε (post μὴν) L ‖ θερμὴν ἅμα κ. ὑγρὰν L ὑ. ἅ. κ. θ. cett. ‖ 12 οὐδὲ L οὐ cett. ‖ ἐγχωρεῖ O | οὔθ' om. L ‖ 13 ὑγρότητι πλεονεκτούσῃ θερμότητα σ. οὔτε ξηρότητι ψυχρότητα L ‖ 19 δὴ LMV οὖν O ‖ 20 αἱ πᾶσαι δ. τ. κρ. LM πᾶσαι τ. κρ. αἱ δ. O ‖ 22 διττῶς V ‖ 25 συγχωροῦντες LMV συγχωροῦσιν O ‖ ἀμφισβητοῦντες LMV ἀμφισβητοῦσιν O ‖ 27 post ὥσπερ add. καὶ O om. LMV ‖ 28 ὥσπερ τ. ὑ. M ὥσπερ καὶ τ. ὑ. O καὶ τοῦ ὑγροῦ LV

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id413088340/18 UNIVERSITÄT LEIPZIG